Ἀπόκρ. Ἐν τῷ ἕκτῳ αἰτήματι· [καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ·] δεόμεθα, ὅπως ὁ Θεὸς, ἤπερ οὕτως ἡμᾶς ἀπειράστους φρουρῶν προφθάσῃ· ἢ γοῦν ὑποστηρίσῃ, καὶ ῥύσηται πειραζομένους.

Διδάσκαλος.

Ἐρώτ. 107. Τί Προσευχῆς τῆς Κυριακῆς Ἐπίλογος νουθετεῖ ἡμᾶς;

Μαθητής.

Ἀπόκρ. Ὁ προσευχῆς τῆς Κυριακῆς Ἐπίλογος [ὅτι σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ Δύναμις, καὶ ἡ Δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.] νουθετεῖ ἡμᾶς ἐν τῷ προσεύχεσθαι, ἀπὸ τοῦ Θεοῦ μόνου τὸ θάρσος λαβεῖν· καὶ ἐν ταῖς προσευχαῖς ἡμῶν, εὐλογεῖν, καὶ μεγαλύνειν αὐτόν· καὶ τὴν Βασιλείαν, καὶ τὴν Δύναμιν, καὶ τὴν Δόξαν αὐτῷ μόνῳ προσάπτειν. Καὶ ἐπὶ τῇ μαρτυρίᾳ τῆς ἡμετέρας ἐπιποθήσεως, καὶ πεποιθήσεως εἰσακουσθήσεσθαι ἡμᾶς, τοῦτο τὸ ῥημάτιον, ἐπιφωνοῦντες, λέγομεν, Ἀμήν.

ΤΕΛΟΣ

Præceptor.

Inter. 106. *Quid in sexta Petitione precamur?*

Discipulus.

Respons. In sexta Petitione, *viz.* [Et nè nos inducas in tentationem, sed libera nos à malo [n];] precamur, ut Deus vel ita nos præmuniret, ut nè omnino ad peccandum [o] tentemur; vel ut tentatos sustentare [p], & liberare vellet.

n Mat. 6 13.
o Mat. 26. 4.
p 2 Cor. 12. 18.

Præceptor

Inter. 107. *Quid Epilogus Orationis Dominicæ nos docet?*

Discipulus.

Respons. Epilogus Orationis Dominicæ, *viz.* [Quia tuum est & regnum, & potentia, & gloria in secula seculorum. Amen [q].] docet nos inter precandum, non aliunde, quàm à solo Deo [r], Fiduciam nostram esse hauriendam; & oportere nos deinceps in precibus nostris, Deum laudibus celebrare, & magnificare; Ipsíque soli, & Regnum, & Potentiam, & Gloriam adscribere. Et in testimonium desiderii nostri, & Fiduciæ, nos exauditum iri, acclamantes effamur,

Amen [t].

q Mat. 6. 13
r Dan. 9. 4, 7, 8.
s 1 Chro. 29. 10, 11, 12, 13.
t 1 Cor. 14. 16. Rev. 22. 20, 21.

F I N I S.

Σύμβολον τοῦ Ἁγίου

ἈΘΑΝΑΣΙΟΥ.

Ὅστις βούλεται σωθῆναι, πρὸ πάντων χρὴ κρατεῖν τὴν καθολικὴν πίστιν.

Ἣν εἰ μὴ εἷς ἕκαστος σώαν καὶ ἀμώμητον τηρήσῃ, ἄνευ διϛαγμοῦ εἰς τὸν αἰῶνα ἀπολεῖται.

Πίστις δὲ ἡ καθολικὴ αὕτη ἐστὶν, ἵνα ἕνα Θεὸν ἐν Τριάδι, καὶ Τριάδα ἐν Μονάδι σεβώμεθα.

Μήτε συγχέοντες τὰς ὑποστάσεις, μήτε τὴν οὐσίαν μερίζοντες.

Ἄλλη γάρ ἐστιν ὑπόστασις τοῦ Πατρὸς, ἄλλη τοῦ Υἱοῦ ἄλλη τοῦ Ἁγίου Πνεύματος.

Ἀλλὰ Πατρὸς, καὶ Υἱοῦ, καὶ Ἁγίου Πνεύματος μία ἐστὶν ἡ Θεότης, ἴση ἡ δόξα, συναΐδιος ἡ μεγαλειότης.

Οἷος ὁ Πατὴρ, τοιοῦτος ὁ Υἱὸς, τοιοῦτον καὶ τὸ Ἅγιον Πνεῦμα.

Ἄκτιστος ὁ Πατὴρ, ἄκτιστος ὁ Υἱὸς, ἄκτιστον καὶ τὸ Πνεῦμα τὸ Ἅγιον.

Ἀκατάληπτος ὁ Πατὴρ, ἀκατάληπτος ὁ Υἱὸς, ἀκατάληπτον καὶ τὸ Πνεῦμα τὸ Ἅγιον.

Αἰώνιος ὁ Πατὴρ, αἰώνιος ὁ Υἱὸς, αἰώνιον καὶ τὸ Πνεῦμα τὸ Ἅγιον.

Πλὴν οὐ τρεῖς αἰώνιοι, ἀλλὰ εἷς αἰώνιος.

Ὥσπερ οὐδὲ τρεῖς ἀκατάληπτοι, οὐδὲ τρεῖς ἄ-

κτιστοι, ἀλλὰ εἷς ἄκτιστος, καὶ εἷς ἀκατάληπτος.

Ὁμοίως παντοδύναμος ὁ Πατήρ, παντοδύναμος καὶ ὁ Υἱός, παντοδύναμον καὶ τὸ Πνεῦμα Ἅγιον.

Πλὴν οὐ τρεῖς παντοδύναμοι, ἀλλ' εἷς παντοδύναμος.

Οὕτω Θεὸς ὁ Πατήρ, Θεὸς ὁ Υἱός, Θεὸς καὶ Πνεῦμα τὸ Ἅγιον.

Πλὴν οὐ τρεῖς Θεοί, ἀλλ' εἷς Θεός.

Ὁμοίως Κύριος ὁ Πατήρ, Κύριος ὁ Υἱός, Κύριος καὶ Πνεῦμα τὸ Ἅγιον.

Πλὴν οὐ τρεῖς Κύριοι, ἀλλ' εἷς ἐστι Κύριος.

Ὅτι ὡς ἰδίαν μίαν ἕκαστον ὑπόστασιν Θεὸν Κύριον ὁμολογεῖν τῇ χριστιανικῇ ἀληθείᾳ βιαζόμεθα·

Οὕτω τρεῖς Θεούς, ἢ τρεῖς Κυρίους λέγειν καθολικῇ εὐσεβείᾳ κωλυόμεθα.

Ὁ Πατὴρ ἀπ' οὐδενός ἐστι ποιητός, οὔτε κτιστός, οὐδὲ γεννητός.

Ὁ Υἱὸς ἀπὸ τοῦ Πατρὸς μόνου ἐστίν, οὐ ποιητός, κτιστός, ἀλλὰ γεννητός·

Τὸ Πνεῦμα τὸ Ἅγιον ἀπὸ τοῦ Πατρὸς καὶ Υἱοῦ, οὐ ποιητόν, οὐ κτιστόν, οὐδὲ γεννητόν, ἀλλ' ἐκπόρευτον.

Εἷς οὖν Πατήρ, οὐ τρεῖς Πατέρες, εἷς Υἱός, τρεῖς Υἱοί, ἓν Πνεῦμα Ἅγιον, οὐ τρία Πνεύματα Ἅγια.

Κἀν ταύτῃ τῇ Τριάδι οὐδὲν πρότερον, ἢ ὕστερον
οὐδ

δὲν μεῖζον, ἢ ἔλαττον, ἀλλὰ σῶαι αἱ τρεῖς ὑποστάσεις, καὶ συναΐδιαί εἰσιν ἑαυταῖς καὶ ἴσαι.

Ὥστε κατὰ πάντα, καθὼς εἴρηται, καὶ τὴν Μονάδα ἐν Τριάδι σέβεσθαι δεῖ, καὶ τὴν Τριάδα ἐν Μονάδι.

Ὁ γοῦν βουλόμενος σωθῆναι, οὕτω περὶ Τριάδος φρονείτω.

Πλὴν ἀναγκαῖόν ἐστι πρὸς αἰώνιον σωτηρίαν, ὅπως καὶ τὴν ἐνσάρκωσιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὀρθῶς πιστεύσῃς.

Ἔστι γὰρ πίστις ὀρθὴ ἵνα πιστεύωμεν καὶ ὁμολογῶμεν ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, Θεὸς καὶ ἄνθρωπός ἐστι.

Θεὸς ἐκ τῆς οὐσίας τοῦ Πατρὸς πρὸ αἰώνων γεννηθεὶς· καὶ ἄνθρωπος ἐκ τῆς οὐσίας τῆς μητρὸς ἐν τῷ αἰῶνι τεχθείς.

Τέλειος Θεὸς, καὶ τέλειος ἄνθρωπος, ἐκ ψυχῆς λογικῆς καὶ ἀνθρωπίνης σαρκὸς ὑφιστάμενος.

Ἴσος τῷ Πατρὶ κατὰ τὴν θεότητα, ἐλάττων τοῦ Πατρὸς κατὰ τὴν ἀνθρωπότητα.

Ὃς εἰ καὶ Θεὸς καὶ ἄνθρωπός ἐστιν, οὐ δύο ὅμως· ἀλλ᾽ εἷς ἐστι Χριστός.

Εἷς, οὐ τροπῇ θεότητος εἰς σάρκα, ἀλλὰ προσλήψει τῆς ἀνθρωπότητος εἰς Θεόν.

Εἷς πάντως, οὐ συγχύσει τῆς οὐσίας, ἀλλ᾽ ἑνότητι τῆς ὑποστάσεως.

Καὶ γὰρ ὡς ψυχὴ λογικὴ καὶ ἡ σὰρξ εἷς ἐστιν ἄνθρωπος· οὕτω καὶ ὁ θεάνθρωπος εἷς ἐστι Χριστός.

Ὃς

Ὃς ἔπαθε διὰ τὴν σωτηρίαν ἡμῶν, κατῆλθεν εἰς ᾅδου, ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ ἐκ τῶν νεκρῶν.

Ἀνῆλθεν εἰς οὐρανοὺς, κάθηται ἐν δεξιῶν τοῦ Πατρὸς τοῦ Θεοῦ Παντοκράτορος, ὅθεν ἥξει κρῖναι ζῶντας καὶ νεκρούς.

Ὃς, οὗ τῇ παρουσίᾳ πάντες οἱ ἄνθρωποι ἀναστήσονται μετὰ τῶν σωμάτων αὐτῶν, καὶ ἀποδώσουσιν ἐξ ἰδίων ἔργων τὴν ἀπολογίαν.

Καὶ οἱ μὲν τὰ ἀγαθὰ πράξαντες, πορεύονται εἰς ζωὴν αἰώνιον· οἱ δὲ τὰ φαῦλα, εἰς τὸ πῦρ τὸ αἰώνιον.

Αὕτη ἐστὶν ἡ καθολικὴ Πίστις, ἣν ἐὰν μή τις πιστῶς πιστεύσῃ, σωθῆναι οὐ δυνήσεται.

2 Tim. 1. 13.

Ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων.

id eſt,

Expreſſam Formam habe ſanorum Sermonum. *Beza.*

Ἀρχὴν ἁπάντων καὶ τέλος, ποίει

Θ Ε Ο´ Ν.

2

ΧΡΙΣΤΟΛΟΓΙΆ
ΜΕΤΡΙΚΗ'·

SIVE

Hymnus ad Christum,

Vitam ejus summatim enarrans, Latinè redditus, & in lucem emissus, operâ & curâ

JOANNIS HARMARI
Lin. Gr. apud Oxonienses Præl. Pub.

Cui subnectitur

1 Elegia de Christo in Cruce patiente;

2 Παραμυθητικὸν, sive Consolatorium adversus timorem Mortis, ex *Chrysostomo* delibatum, cum Versionibus Latinis è regione positis.

In usum celeberrimæ Scholæ West-monasteriensis, *&c.*

Ἐν τῷ εὖ τὸ μέγα.

LONDINI,
Typis *Joannis Macock.* 1660.

Clarissimo, Honoratissimóque

VIRO,

JOANNI WILKINSIO

SS. Theologiæ Doctori,

ET

Concionatori Eximio,

In Universa Mathesi, & in Omni *Literarum* Genere versatissimo, *Wadamensis* Collegii apud *Oxonienses* Custodi Vigilantissimo, Sagacissimo, Integerrimo, Amico & Fautori suo Benignissimo, Divinum hoc Poematium (Xenii loco)

summâ cum Observantiâ

JOANNES HARMARUS

D. D. D.



ΧΡΙΣΤΟΛΟΓΙ'Α ΜΕΤΡΙΚΗ'.

1 ΧΡΙΣΤΕ` φάος μερόπων, Σωσίμβροτε Δῶτορ ἐάων,
2 Δῶτορ παντοίης σοφίης· κύδιστε, μέγιστε,
3 Κλῦθι Ἄναξ, Ἀρχὴ πάντων, Μέσον, ἠδὲ Τελευτή.
4 Ἐκ σέο δ' ἀρξάμενος, καταλήξομαι ἀσφαλὲς ἐν σοί
5 Ὧ μὲν παντοκράτωρ γενέτης ΘΕΟΣ ἐγγυάλιξε
6 Σκῆπτρον ἐν ἀκροτάτῃ κορυφῇ φαέθοντος Ὀλύμπου,
7 Ἐν πάσῃ χθονὶ καὶ κράτος ἔξοχον, ἠδὲ θέμιστας,
8 Ἀθανάτων ἵνα καὶ θνητῶν μόνος ἡγεμονεύης.
9 Ἐλθὲ μάκαρ, καὶ ἐμοὶ Σέο μνήμην πέμπε φρεσὶν·
10 Λισσόμενος καλέω, δὸς μοὶ καταθύμιον αὐδήν.
11 Ὅττι ἀλαπαδνὸς ἐγὼ πέλομαι, καὶ νῆϊς ἀοιδός.
12 Τίς γὰρ σὴν Γενεὴν προτέρην ἄῤῥητον ἀείσει.

13 Οὐ



Historia de Christo Metrica.

1 CHRISTE lux hominum, Salvator mortalium, dator bonorum,

2 Dator omnigenæ sapientiæ ; Gloriosissime, maxime,

3 Audi Rex, Principium [rerum] omnium, Medium, & Finis.

4 A Te [canticum meum] auspicatus, desinam securè in Te.

5 Cui quidem Omnipotens genitor DEUS in manus tradidit

6 Sceptrum in altissimo vertice fulgentis Olympi.

7 Et in omni terrâ imperium summum atque jura,

8 Ut immortalibus, & mortalibus, solus [Dux] imperes.

9 Veni Beate, & mihi Tuî memoriam immitte præstantissimam :

10 Supplicans [Te] voco, da mihi animo-Tuo-gratum sermonem :

11 Quoniam imbecillis ego sum, & ignarus cantor:

12 Quis enim Tuam generationem priorem ineffabilem cantabit ?

13 Οὐ γένετ᾽, οὐκ ἔσαι· Ἑτέρην δὲ τίς ἀκριβὲς ἔγνω
14 Νῦν σὺ μὲν ὀβριμόπατρος ὑφίστασαι, υἱὸς Ἀμήτωρ·
15 Νῦν δ᾽ Ἀπάτωρ, καθαρῆς γενετείρης Παρθένου αἰεί
16 Εὐειδὴς τόκος ἐστὶ, λαβὼν βροτοειδέα μορφήν.
17 Πλὴν τοῦ πλημμελέειν ἡμῖν πανόμοιος ἐτύχθης.
18 Τίς κὲν δυσσεβέων ἀπεδέξατο θαύματ᾽ ἐκεῖνα;
19 Τίς ἢ καὶ οἰομένων τινὰ τὸν Θεὸν ὄντα μέγιστον,
20 Εἰ μὴ πλαζομένῳ Θεολαμπέα πίστιν ὀπάζοις;
21 Ἀλλὰ τίς ἀνδρομέον Σέθεν εἶδος ἔχοντος ἅπαντα
22 Ἔργα θεόσσυτα κηρύξειεν ἀπειθεῖ Κόσμῳ,
23 Εἰ μὴ θεσπεσίην δώης ἐλεύνιος αὐδήν;
24 Νηδύος ἐξ ἱερῆς ἔθορες βρέφος ἀρτεμὲς, ἠδὲ
25 Παρθενικοῦς Σέο μητρὸς ἐθήσαο πίονα μαζόν.
26 Ποιμένες ἄγραυλοι διὰ αἰθέρος εἰσαΐοντες

27 Ἀγγελικάς

13 Non fuit, non erit; Alteram autem quis exactè novit?
14 Nunc Tu quidem forti-patre-natus subsistis, Filius sine Matre;
15 Nunc verò sine Patre, puræ genetricis Virginis semper
16 Speciosus es partus, assumens mortalis [hominis] formam,
17 Præter peccatum, [τὸ peccare] nobis omnino similis extitisti.
18 Quis impiorum [approbando] reciperet miracula illa?
19 Quis, vel credentium aliquem Deum esse maximum,
20 Nisi erranti divinitus allucentem fidem dederis?
21 Verùm quis humanam Tuî formam habentis omnia.
22 Opera divina prædicârit incredulo mundo,
23 Nisi Divinam dederis [tu] beneficus [auxiliator] vocem?
24 Utero ex sacro exsiluisti Infans integer, atque
25 Virginis Tuæ matris suxisti uberem mammam.
26 Pastores in agris pernoctantes [stabulantes] per ætherem audientes

27 Ange-

27 Ἀγγελικὰς ὀμφάς, καὶ ἐναίσιμα σήματα πολλὰ,
28 Ἐσσυμένως ἀνόρουσαν, ἴδοντό τ' ἀληθέα πάντα.
29 Ἦλθον ἀπ' Ἀντολίης Μάγοι ἄνδρες δῶρα φέροντες·
30 Οἱ δὲ Μάγοι σοφοὶ ὄντες (ἴσως βασιλῆες ἀγαυοὶ)
31 Ἀστέρι ἑσπόμενοι θεοφεγγεῖ, τηλόθεν ἦλθον·
32 Ἀγλαὰ Σοί γε Θεῷ θ' Ἱερεῖ τ' Βασιλῆϊ τῷ σεμνῷ
33 Δῶρα φέρον, Λίβανον, Σμύρναν, Χρυσόν τ' ἐρίτιμον.
34 Οὐρανὸς ἀστερόεις, Ἀὴρ, Χθὼν, ἠδὲ Θάλασσα
35 Υἱὸν ἀπαγγέλλουσι Θεοῦ Σωτῆρα δοθέντα,
36 Σαρκωθέντα Λόγον· Πατρὸς δ' ἐτελείετο βουλή.
37 Καὶ νεανίσκος ἐὰν ἐφράσσαο πάντα τέλεια,
38 Αὐτομαθὴς καὶ παντοδαὴς, κατὰ δὴ Φαρισαίων
39 Αὐσταλέων Ἱερῷ διελέχθης πατρὸς ἐν οἴκῳ.
40 Ἀλλὰ μὲν ηὐξήθης, ἐτράφης καλὰ, Παντρόφε Χριστέ,

27 Angelicas voces, & fausta signa multa,
28 Celeriter surrexerant, viderúntque vera omnia.
29 Venerunt ab Oriente Magi viri dona ferentes;
30 Magi quidem sapientes existentes (fortè Reges illustres [erant])
31 Stellam secuti à-Deo-lucidam, è longinquo venerunt;
32 Splendida Tibi quidem Deóque, Sacerdotîque, Regîque Augusto
33 Munera attulerunt, Thus, Myrrham, Aurúmque pretiosum.
34 Cœlum stelliferum, Aer, Tellus, & Mare
35 Filium annunciant Dei, Salvatorem datum,
36 Incarnatum Verbum; Patris autem perficiebatur consilium.
37 Et [Tu] puer existens, in animo versâsti omnia perfecta,
38 Ex Teipso discens, omniscius, adversùs quidem Pharisæos
39 Rabidos sacrâ disseruisti in Patris domo.
40 Sed enim crevisti [auctus es] enutritus es pulchrè, Omnium-nutritor Christe,

41 Venustate

41 Κάλλεϊ καὶ χάριτι στίλβων, θεότητι κράτιστος,

42 Ἄμβροτος, ἠδὲ βροτός· Διφυὴς, Θεὸς, ἠδὲ καὶ ἀνήρ.

43 Θάμβος ἔχει με νοοῦντα σὰ θαύματα ὅππος' ἔρεξας.

44 Τί πρῶτον γὰρ ἐρῶ; τί δὲ ὑστάτιον καταλέξω;

45 Παυσίπονον Νηπενθὲς ἔφυς, εὐαλθὲς ὄνειαρ·

46 Χάρμα βροτοῖσιν, ὕδωρ οἶνον μελιηδέα ποιεῖς.

47 Σεῖο κελεύσαντος τρόμος ἔλλαβε Δαίμονας ἐχθρούς,

48 Θεσπεσίην τ' ἔχε φύζα φόβου κρυόεντος ἑταίρη.

49 Ἐμπορικοὺς ἱερῶν τοὺς λυμαντῆρας ἱμάσθλῃ

50 Καρτερὸς ἐξέλασας Τεμφοὺς μάλα σιγαλόεντος·

51 Ἄρτων πέντε, δυοῖν τ' ἐξ ἰχθυδίοιν, ἐ ἐρήμῳ,

52 Ἀνδρῶν χιλιάδας πέντε θρέψας μετὰ τέκνων

53 Ἠδ' ἀλόχων· Κοφίνους δυοκαίδεκα λείψανα πλῆσε.

54 Σὸν δέμας ἄρτος ἐτήτυμός ἐστι, καὶ εἶδα ἀληθές·

55 Αἷμ

41 Venustate & gratiâ fulgens, Deitate [Tua] potentissimus,

42 Immortalis, atque Mortalis, Geminæ Naturæ, Deus, & Vir.

43 Pavor-cum-stupore occupat me cogitantem Tua miracula que fecisti.

44 Quid primum enim dicam? quid verò postremum recensebo?

45 Labores [molestias] sedans Nepenthes extitisti bene-sanans auxilium;

46 Gaudium mortalibus, Aquam vinum dulce facis.

47 Te jubente tremor corripuit Dæmonas infestos,

48 Occupavit fuga pavoris horrifici socia.

49 Nundinarios sacrorum corruptores scuticâ

50 Fortis exegisti è templo valdè [cum silentio] venerando [stupendo];

51 Panibus quinque, & duobus pisciculis, in solitudine,

52 Virorum millia quinque pavisti cum Liberis

53 Et uxoribus; cophinos duodecim reliquiæ impleverunt.

54 Tuum Corpus panis verus est, & cibus verus:

55 Αἷμα ποτὸν νημερτὲς, Νέκταρος Ἀμβροσίης τε
56 Θειότερον, γλυκιόν τε θεουδέσιν εἰλαπινάζειν.
57 Πεζὸς ἐὼν ἐθέεσκες ἐπ' εὐρέα νῶτα θαλάσσης·
58 Σοὶ Πέλαγος ζαμενὲς, καὶ λαίλαπες, ἠδὲ θύελλαι
59 Πείθονται, καὶ πάντα βροτοῖς φρικώδεα δεινοῖς.
60 Σεῖο λόγῳ λυγραὶ καὶ ὀναλθέες αὐτίκα νοῦσοι,
61 Λέπραι, καὶ Πυρετοὶ, Παραλύσιες. Ἀμαλδέονται
62 Ῥεύσιες, ἀργαλέαι Πυρώσιες ἐξακέονται·
63 Οἱ δ' Ἀλαοὶ λεῦσσον λαμπρὸν φάος ἠελίοιο·
64 Ἔδραμον ἀρτίποδες χωλοὶ κατὰ σεῖο κέλευσμα
65 Κωφοί τ' εἰσάϊον, καὶ ἀναύδων γλῶσσα λέλυτο
63 Αἱ δὲ κόμαι ζάθεαι θυόεν λείβουσιν ἔλαιον
67 Ῥάσματα θεῖα μύρου Χειροῦ σάζουσιν ἔθειραι,
68 Οὐ λίπος· ἀλλ' αὐτὴν Πανάκειαν· ἐπεὶ Πανακέστως,

69 Ἤπιος

55 Sanguis [Tuus] potus verus, Nectare, Ambrosiâque
56 Divinor, dulciórque piis [ad] epulandum.
57 Pedes existens currebas super lata dorsa maris;
58 Tibi iracundum Pelagus, & Turbines, & Procellæ
59 Obediunt, & omnia mortalibus formidabilia miseris [meticulosis].
60 Tuo verbo graves, & immedicabiles illico morbi,
61 Lepræ, Febres, Paralyses, cruenti [sanguinei]
62 Fluores, molestæ Mutilationes perfectè sanantur;
63 Cæci viderunt splendidam lucem Solis;
64 Concurrerunt claudi [facti] pedibus integri secundùm tuum mandatum;
65 Surdíque audiverunt, & mutorum lingua soluta est.
66 Comæ Christi odoratum stillant oleum,
67 Guttas [aspergines] divinas olei Christi stillant Capilli
68 Non pinguedinem [vulgarem,] sed ipsam Panaceam, quoniam [is est] omnium [morborum] Curator: 69 Miris

69 Ἤπιος Ἰητὴρ, καὶ Σωτὴρ ἐστὶν Ἰησοῦς,

70 Ἐλπωρὴ μεγάλη νοσερῶν, καὶ φάρμακον ἀλγῶν.

71 Χριστοῦ γὰρ σθένος ἐστὶν ἀθέσφατον· ἐκ δέ νυ Χριστοῦ

72 Ἔρχεται ἀνθρώποισιν ἀνάβλεψις θανάτοιο.

73 Χριστὸς ἐγερσινόος κατατεθνειῶτας ἐγείρει,

74 Εὔφρων ζωοδύτες, ψυχοσόος, ὀλβιοεργός

75 Κάτθανεν αὐτὸς ἅπαξ ἀδίκῳ καὶ ἀεικέϊ πότμῳ,

76 Ζελομανῶν φθονερῆς διὰ βουλῆς Ἀρχιερήων·

77 Ἠδ' ἐτάφη, καὶ παγκρατέως τρίτον ἦμαρ ἀνέστη,

78 Ἄλκιμος, Ἀμβρόσιός τε Θριαμβυτὴς Ἀΐδαο,

79 Ἄφθιτος, Ἀγλαόμορφος, Ἀλεξίκακος, πανατήμων,

80 Ἀμφαδίην ἱμερτὸς ὁμίλεεν οἷσι μαθηταῖς,

81 Τεσσαρακοσταῖος παναληθέα τοῖς δ' ἀνατείλας.

82 Πολλὰ καὶ ἐκτελέσας περιθαμβέα θέσκελά τ' ἔργα,

83 Οὐρανοὶ

69 Mitis Medicus & Servator est Jesus,

70 Spes magna ægrotorum, & remedium dolorum.

71 Christi enim robur est immensum; ex autem Christo

72 Venit hominibus dilatio mortis.

73 Christus excitator-mentis mortuos exsuscitat,

74 Benevolus vitæ dator, animarum servator-felicitatis auctor [effector].

75 Ipse semel mortuus est injustâ & indecorâ morte

76 Malo zelo furentium invidum per consilium principum Sacerdotum,

77 Atque sepultus est, & omnipotenter tertio die resurrexit,

78 Prævalidus, immortalisque Triumphator Orci,

79 Incorruptus, Illustris formæ, Averruncator malorum omnino illæsus,

80 Apertê desiderabilis collocutus est cum suis discipulis,

81 Quadragesimo die omnia vera hicce ubi demandâsset,

82 Multáque ubi perfecisset stupenda divinàque opera,

83 Οὐρανὸν εἰσανέβη Θεὸς, αὐτὸς ἀκήρατος
Ἀνὴρ,
84 Υἱὸς ἐπουράνιος, Πατρὶ σύνθρονος, ἠδ'
ὁμότιμος,
85 Πανδαμάτωρ, φερεσίμβροτος· οἷς Ἑτά-
ροισιν ἔπειτα
86 Πλειοτέρην ἔναξε χάριν διὰ Πνεύματος
Αὐτοῦ,
87 Δῶκε μένος καὶ θάρσος, ἀειδήλους παρ
πᾶσιν
88 Ἔμμεναι ἀνθρώποις, ἅμα καὶ λόγον ἐσθλὸ
ἀκούειν.
89 Ἐνθάδε Παμβασιλεὺς κρατέει μέγα κοι-
ρανεόντων,
90 Φέρτατος ὢν πάντων Γενεῇ τε, Φυῇ τε
Βίῃ τε
91 Ὦ Λαοί τ' ἐπιτετράφαται, καὶ πάντα μέ-
μηλε.
92 Πάντη γὰρ πάρα· Γῆν πίμπλησι,
Αἰθέρα μακρόν.
93 Πάντες Ἀριστῆες, θ' Ἡγήτορες, ἠδὲ Μέ-
δοντες.
94 Τούτου δειδίασι κρατερὴν καὶ ἀπείριτον
ἀλκήν.
95 Δαίμονες ἐκπάγλως, Αὐτὸν ταρβοῦσιν
ἔνερθεν
96 Οὐνόματος κρυόεντος ὅταν κλύπος οὔα
βάλλῃ.

83 In cœlum aſcendit Deus, ipſe fati exſors
vir,
84 Filius ſuper-cœleſtis, Patri adſidens, atque
æquè honoratus,
85 Cuncti-domans, lucem mortalibus expro-
mens; ſuis ſociis poſtea
86 Pleniorem inſtillavit gratiam, per ſpiri-
tum ſuum
87 Dedit [iis] animi robur & fiduciam, ut
præclari ſupra omnes
88 Homines eſſent, atque [ut] ſermonem bo-
num audirent [bene audirent]:
89 Hìc Omnium-Rex imperat ſuperbè do-
minantibus,
90 Præſtantiſſimus exiſtens omnium, & ge-
neratione, & indole, & robore.
91 Cui populi commiſſi ſunt, & omnia ſunt
curæ.
92 Ubique enim adeſt; Terram implet, &
Ætherem longè-porrectum.
93 Omnes Proceres, & Duces, & Re-
ges,
94 Hujus reformidàrunt validam & infinitam
potentiam.
95 Dæmones vehementer [conſternatè] ip-
ſum exhorreſcunt [apud inferos] infrà,
96 Nominis horrifici quando ſonus aures
percuſſerit.

97 ῏Ω Μοῖραι πείθονται ἀμείλικτοί περ ἐοῦσαι,
98 Τὸν δὲ σεβίζουσιν μάκαρες ναετῆρες Ὀλύμπου,
99 Κύριον οὐράνιον, πανυπέρτατον, ἀγλαότιμον.
100 Τοῦ δ' ἄρ' ἀνάσσοντος μαντεύεται οὐκ ἔτι Φοῖβος,
101 Ὃν Τρίποδα Κρισὸς σύλησε, Λύρην τε, Βιόν τε,
102 Ὡς κευνέην Ἀϊδωνέα, Ζηνὸς ἀργῆτα Κεραυνὸν,
103 Ὅπλα Ἄρην Κορώνην Ἡρακλέα, Ἔγχος Ἀθήνην,
104 Γαίοχον ἐννόλιον τριβελὲς Δόρυ, θύρσαι τι Βάκχον.
105 Πτηνὰ πέδιλ' Ἑρμῆν, χρυσέην καὶ ἀφείλετο ῥάβδον,
106 Παντοδαπούς τε θεοὺς μυθώδεας ἐξεκένωσε,
107 Τῶν δ' Εἴδωλα θλάσε βροτέων δαιδάλματα χειρῶν.
108 Ἀυτὸς ἐὼν Θυσίη τελέη, ἄχραντος, ἀμύμων.
109 Ψευδοθέων θεομισέας ἠμαύρωσε θυηλάς
110 Τοὔνομα δὲ Χριστοῦ λαοὺς ἀφίκανεν ἅπαντας·

97 Cui Parcæ obediunt implacabiles licèt existentes,
98 Hunc verò venerantur beati habitatores Olympi [cœli incolæ]
99 Dominum cœlestem, supremum honore splendidum.
100 Hoc autem regnante vaticinatur non amplius Phœbus,
101 Quem Tripode Christus spoliavit, Lyrâque, Arcúque,
102 Sicut Galeâ Plutonem, Jovem candente fulmine,
103 Armis Martem, Clavâ Herculem, Hastâ Minervam,
104 Terram incingentem marinum [Deum] tricuspide jaculo, Thyrsísque [hastis aculeatis] Bacchum,
105 Alatis Talaribus Mercurium, auream etiam abstulit virgam [caduceum];
106 Omnigenósq; deos fabulosos evacuavit.
107 Horum simulachra fregit, mortalium artificia manuum.
108 Ipse existens sacrificium perfectum, impollutum, inculpatum,
109 Falsorum deorum deo-invisa obicur vit sacrificia.
110 Nomen autem Christi populos pervenit ad omnes;

111 Ἦ μὲν ὅσοι ναίουσι πρὸς ἠῶ ἠειγένειαν
112 Ἠδ' ὅσσοι μετόπισθε ποτὶ ζόφον ἠερόεντα,
113 Καὶ πόλον οὐχ ἡμῖν ἐπίοπτον ὁρῶντες ἄκουσαν
114 Πάσης γὰρ κρατέει γαίης, πάσης τε θαλάσσης.
115 Δυσσεβέας δ' Ἀθέους πάντας ῥαίσειεν ὁ Χριστός·
116 Πάντας ὑπερφιάλους ῥάβδῳ δαμάσειε σιδηρῇ,
117 Ἠΰτε σκεῦος ἑλὼν κεραμῆος, χειρὶ κραταιῇ
118 Συντρίψειεν· ἑοῦ γὰρ τὸ κράτος ἐστὶ μέγιστον
119 Ὃς μάχεται Χριστῷ, μαλερῷ πυρὶ δειλὸς ὀλεῖται·
120 Ὄλβιος ὃς καθαροῖς πραπίδεσσι κλήσατο Χριστόν.
121 Ἔστι φιλάνθρωπος Χριστὸς Θεὸς ἐλπιδοδώτης,
122 Εὐμενὲς ἦτορ ἔχων ἱκέτῃσι, καὶ εὐθέσι γνώμην.
123 Καὶ ταμίης ἐλέου, Πατρὸς σφρηγῖδα φυλάττων.
124 Παντοίων ἀγαθῶν ἀνθρώποις δῶρα πορίζει.

125 Ἀρχιερεὺς

111 Et quotquot habitant ad autorem in-
aere genitam [in Oriente]
112 Et quidem quotquot ponè [habitant] ad
Occasum caliginosum,
113 Et polum [Australem] non nobis aspe-
ctabilem videntes audiverunt.
114 Omni siquidem dominatur terræ, om-
níque mari.
115 Impios verò Atheos omnes [cito] dis-
perdit ipse Christus;
116 Omnes superbos virgâ perdomet fer-
reâ,
117 Tanquam vas capiens figuli, manu præ-
potenti
118 [Citò] conterat; ejus enim imperium
est maximum.
119 Qui oppugnat Christum, sævo igne mi-
ser peribit:
120 Beatus is est, qui puris cogitationibus
possedit Christum.
121 Est hominum amator Christus Deus,
spei dator,
122 Benignum cor habens supplicibus &
rectis [mente];
123 Et promus-condus misericordiæ, Patris
sigillum custodiens,
124 Omnigenorum bonorum hominibus
dona sufficit.

125 Ἀρχιερεὺς, Μεσίτης τε, Καθαρτής τ' ἀμπλακιάων.
126 Ἄμπελος ἱμερόεσσα, Θύρη Μηλοσσόος, ἐσθλὸς
127 Ποιμὴν, Ἀτρεκίη, Ζωὴ, Φάος, Ἄλκαρ, Ἀταρπός
128 Τοὔνεκα Σωτῆρος Χριστοῦ χαίρουσιν ἅπαντες.
129 Χριστὲ ἄναξ, ὃς πάντ' ἐφορᾷς, καὶ πάντ' ἐπακούεις,
130 Κλῦθί μου εὐχομένου πάντων ὑπὲρ εὔφρονι θυμῷ.
131 Ἁρμονίης ἐπίδος Θεοπειθέσιν ἀνδράσι μοῖραν·
132 Ἐξόρισον πολέμους ἀσεβεῖς, καὶ λύματα πάντα
133 Δυσσεβίης, ἡμῖν Λοιμὸν καὶ Λιμὸν ἄμυνε·
134 Ἐξέλασον νούσους, ὑγείην σῶσον ἀμεμφῆ.
135 Εἰρήνην τε δίδου Θεοτερπέα σοῖς θεράπουσι·
136 Εὐνομίην τε, Δίκην τε, τεῷ σωτήρια λαῷ
137 Κλῦθί μου ἀγλαόφημε, πανίλαε, Κοίρανε Χριστέ
138 Λίσσομαι ἁζόμενος μέγα σὸν σέβας· Ἵλαθι πρόφρων.

139 Θυμὸν

125 Summus Sacerdos, Mediatórque, Purgató que peccatorum ;
126 Vitis desiderabilis, ostium servans-oves, bonus
127 Pastor, Veritas, Vita, Lux, Presidium, Via.
128 Idcirco Salvatore Christo indigent omnes.
129 Christe Rex, qui omnia aspicis & omnia exaudis,
130 Audi me precantem pro omnibus benignâ mente :
131 Concordiæ largire [insuper] Deo-obtemperantibus hominibus sortem ;
132 Extermina bella impia, & sordes omnes
133 Impietatis, à nobis pestem & famem depelle.
134 Expelle morbos, sanitatem serva inculpatam.
135 Pacémque dato Deo-placentem tuis famulis,
136 Rectam juris constitutionem, & justitiam [quæ] salutaria (sunt) tuo populo.
137 Audi me splendidè-celebrate, omnibus propitie, Princeps Christe.
138 Supplico venerans magnum tuum Numen : propitius esto lubens.

139 Animam

139 Θυμὸν ἐμεῖο δέμας τε κάθηρον ἁμαρτάδος αἰσχρῆς.

140 Οὐκ ἔραμαι πλουτεῖν ἄγαν, οὐ πλεόνεσσιν ἀνάσσειν

141 Εὔχομαι· ἀλλὰ νοεῖν, τίειν τε σοῦγ' ἔξοχα πάντων,

142 Ὀρθὴν πίστιν ἔχειν, Σέο καὶ μεμνῆσθαι ἐφετμέων,

143 Πίδακος ἐξ ἱερῆς σοφίης γλυκὺ Νέκταρ ἀφύσσειν

144 Ἀχλὺν ἀποσκεδάσας θανατηφόρον, ἠδ' ἐρεβεννὴν,

145 Ἁγνοῦ Σοῦ φάεος, μεγαλώνυμε, Φωσφόρε Χριστὲ,

146 Ψυχῇ ἐμῇ δνοφερῇ δεῖξον ζωαρκέας αὐγάς.

147 Σοῦ γὰρ ἄτερ σέλαος πάντα σκοτόεντα βροτοῖσι.

148 Σοῦ δόντος, πᾶν ἐσθλὸν ἐπίσταται ἄνδρας ἀέξειν.

149 Πάντων γὰρ κρατέεις μοῦνος, πάντεσσιν ἀνάσσεις.

150 Καὶ διὰ Σοῦ θνητοῖς σωτήρια δῶρα τέτυκται.

151 Νόσφι τεῆς ἀρετῆς πτωχοὶ κακείμονες ἐσμέν.

152 Μουνογενὲς Θεοῦ υἱὲ, Σεβάσμιε, Λυσιμέριμνε,

153 Πνεῦσον

139 Animam, meam corpúſque purga [à] peccato turpi.

140 Non cupio ditеſcere nimiùm, non pluribus imperare

141 Opto; ſed meditari & colere Te ſupra omnia,

142 Rectam fidem tenere, Tuíque meminiſſe mandatorum,

143 Et fonte ex ſacro ſapientiæ dulce Nectar haurire.

144 Caliginem diſſipans mortiferam, & fuſcam,

145 Puri tui luminis, glorioſiſſime, [magni nominis] lucem-ferens Chriſte,

146 Animæ meæ tenebricoſæ oſtende ad vitam-ſuſtentandam-ſufficientes radios.

147 Tuì ſiquidem ſine fulgore omnia [ſunt] tenebricoſa mortalibus.

148 Te dante, quodvis bonum poteſt viros augere.

149 Omnibus enim dominaris ſolus, omnibus imperas.

150 Et per Te mortalibus ſalutaria dona parata ſunt.

151 Sine tuâ virtute pauperes malè-veſtiti ſumus.

152 Unigenite Dei fili, Colende, Solutor-curarum,

153 In-

153 Πνεῦσον ἐμοὶ Σὸν πνεῦμα, Τεῆς ἐπιδεύομαι ἀλκῆς.

154 Πρηΰς ἐμοίγ' ἐπιτάῤῥοθος, εὐμενέων ἐπαρωγὸς

155 Πρόχεε ζωογόνους ὁσίης Χάριτος ῥαθάμιγγας

156 Δός σε νοεῖν τε, φιλεῖν τε ὁμοῦ, καὶ ὄλβιός εἰμι.

Τ'ΕΛΟΣ.

153 Inspira mihi Tuum Spiritum,(Tuo enim indigeo auxilio, [robore])
154 Mansuetus mihi quidem auxiliator, benevolúsque adjutor,
155 Affunde vivificas sanctæ gratiæ guttas.

156 Da mihi Te amare, adorarέque simul, & felix sum.

FINIS.

Carmen Græcum

Elegiaco Verſu conſcriptum; in quo inſtituitur Dialogus inter *Chriſtum* Patientem, & *Viatorem* demirabundum, & ad tam triſte ſpectaculum ſubſiſtentem.



1 Αἰ, αἶ, Τίς Σὲ φερέσβιε, δύσμορος ἔκτανεν; αἶ αἶ.

2 Σωλίβροτον Σὲ μανεὶς τὶς θανάτωσε βροτῶν;

3 Οὐ καΐφας τόσον, οὐ δολερὸν Προδόταο φίλαμα,

4 Οὐδ' ἀδίκου μιαροῦ τοῦ Πιλάτοιο χέρες·

5 Μήδεα Πατρὸς ὅσον, τοὐμόν τε τοι ἤπιον ἦθος,

6 Ἀμπλακίας ἐλέῳ τὰς σευ ἀμυνάμενον.

7 Πῶς δὲ Κριτὴς ἐκρίθης; πῶς πανδαμάτωρ ἐδαμάσθης;

8 Πῶς ἀπαθὴς ἔπαθες; πῶς θάνες ἀθάνατος;

9 Καὶ κτιστὴς, καὶ κτιστὸς ἐών· ἀπαθής τε παθητός·

10 Καὶ Θεὸς ὢν θνητὸς, καὶ βροτὸς ἀθάνατος.

11 Οὕτως δὴ θάνατον θανάτῳ θανάτωσα· Θέαμα

12 Τερπνὸν Ἐπουρανίοις, τερπνὸν ἐπιχθονίοις.

13 Φεῦ



1 HEu, heu! Quis te,[qui]vitam-affers, infelix trucidavit? heu, heu!
2 Servitorem mortalium quis mortalium insaniâ ductus Te occidit?
3 Non Caiphas adeò, non dolosum proditoris osculum,
4 Non injustæ scelesti Pilati manus;
5 Quantùm consilia patris, meáque Tibi benigna mens,
6 Ut qui peccata tua misericordiâ meâ depulerim.
7 Quomodo verò Judex[cùm sis]judicatus es?
8 Quomodo passioni cuncti-domans domitus es? non obnoxius, passus es? quomodo immortalis [cùm sis] mortuus es?
9 Et Creator, & creatus existens, passioni non obnoxius, & obnoxius.
10 Et Deus existens mortalis, & mortalis existens immortalis sum;
11 Sic utique mortem morti morte dedi; Spectaculum
12 Jucundum Cœlicolis, jucundum Terricolis.

13 Φεῦ σοφίης βάθος! ὦ θείας μέγα θαῦμα
Προνοίας!

14 Φρικτὸν Ἐπουρανίοις, φρικτὸν Ἐπι-
χθονίοις.

15 Ἔῤῥ' Ἀΐδου κνέφας· ἔῤῥε Σατᾶν ὀλεσίμβροτε·
αὐτὸς,

16 Αὐτὸς (Ἰοῦ) ζωῆς πρόξενος εἶ,
Θάνατος.

Μη-

13 O Sapientiæ [divinæ] profunditatem ! O divinæ magnum miraculum providentiæ !

14 Horrendum Cœlicolis, horrendum Terricolis.

15 Abi in perniciem [tuam] Orci Caligo ; Abi in exitium [tuum] Satan perditor-mortalium ; ipſa,

16 Ipſa (iô) vitæ conciliatrix es, O Mors.

CHRYSOSTOMI

Græcorum Patrum

Ῥητορικωτάτου,

Adversùs Timorem Mortis

ΠΑΡΑΜΥΘΗΤΙΚΟ'Ν.



Μηδεὶς φοβείσθω θάνατον, ἠλευθέρωσε γὰ ἡμᾶς ὁ τοῦ Σωτῆρος θάνατος· ἔσβεσε αὐτὸν ὑπ' αὐτοῦ κατεχόμενος· ἐσύλησε τὸν ᾍδην ὁ κατελθὼν εἰς τὸν ᾍδην· Ἐπίκρανεν αὐτὸν γευσάμενος τῆς σαρκὸς αὐτοῦ. Καὶ τοῦτ προλαβὼν Ἡσαΐας ἐβόησεν· ὁ ᾍδης (φησὶν) ἐπικράνθη συναντήσας Σοὶ κάτω. Ἐπικράνθη, καὶ γὰ κατηργήθη. Ἐπικράνθη, καὶ γὰρ ἐνεπαίχθη. Ἐπικράνθη, καὶ γὰρ καθῃρέθη. Ἐπικράνθη, καὶ γὰ ἐδεσμεύθη. Ἔλαβε σῶμα, καὶ Θεῷ περιέτυχεν· ἔλαβε γῆν, καὶ συνήντησεν οὐρανῷ· ἔλαβεν ὅπε ἔβλεπε, καὶ πέπτωκεν ὅθεν οὐκ ἔβλεπε. Ποῦ σου, Θάνατε, τὸ κέντρον; Ποῦ σου, ᾍδη, τὸ νῖκος; ἀνέστη Χριστὸς, καὶ πεπτώκασι δαίμονες· ἀνέστ Χριστὸς, καὶ χαίρουσιν ἄγγελοι· ἀνέστη Χριστὸς, κ ζωὴ πολιτεύεται· ἀνέστη Χριστὸς, καὶ νεκρὸς οὐδεὶ ἐπὶ μνήματος· Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμὴ



NEmo mortem extimeſcat. Liberavit enim nos Salvatoris Mors: Extinxit eam ab eâ detentus: Qui in Infernum deſcenderat; Infernum ſpoliavit; cùm [Infernus] Salvatoris carnem deguſtâſſet [caro deguſtata] ipſum amaritudine replevit. Et hoc Eſaias præconcipiens, *Infernus cùm Tibi infrà occurriſſet, amaritudine repletus eſt.* Amaritudine repletus eſt, etenim profligatus eſt: Amaritudine repletus eſt, etenim illuſus eſt: amaritudine repletus eſt, etenim ſublatus eſt; amaritudine repletus eſt, etenim in vincula conjectus eſt. Accepit corpus, & in Deum incidit; accepit Terram, & Cœlo occurrit; accepit quod non vidit, & non vidit unde cecidiſſet. Ubi, Mors, eſt ſtimulus tuus? Ubi, Inferne, eſt victoria tua? Surrexit Chriſtus, & lapſi ſunt Dæmones; ſurrexit Chriſtus, & lætentur Angeli; ſurrexit Chriſtus, & Vita exiſtit [manet]; ſurrexit Chriſtus, & nemo mortuus manet in monumento. Chriſtus enim excitatus à mortuis, primitiæ mortuorum factus eſt: Ipſi Gloria, & Potentia, in ſecula ſeculorum: Amen.



Τὰ πέντε

ΚΕΦΑ'ΛΑΙΑ

Τῆς

Χριστιανικῆς Θρησκείας.

Ecclesiastis 12. 13.

[illegible] λόγου τὸ πᾶν ἄκουε· τὸν Θεὸν φοβοῦ, καὶ



ΠΡΟΣΕΥΧῊ ΚΥΡΙΑΚΗ΄.

ΠΑ΄τερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς·

1. Ἁγιασθήτω τὸ ὄνομά σου·

2. Ἐλθέτω ἡ βασιλεία σου·

3. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.

4. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον.

5. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

6. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ·

Ὅτι,
Σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις,
καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας.
Ἀμήν.

ΣΥ΄ΜΒΟ-

ΣΥ'ΜΒΟΛΟΝ τῶν 'ΑΠΟΣΤΟ'ΛΩΝ.

1. ΠΙςεύω εἰς Θεὸν, Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς·

2. Καὶ εἰς Ἰησοῦν Χριςὸν τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, Κύριον ἡμῶν·

3. Συλληφθέντα ἐκ πνεύματος ἁγίου, γεννηθέντα ἐκ Μαρίας τῆς παρθένου·

4. Παθόντα ἐπὶ Ποντίου Πιλάτου, ςαυρωθέντα, θανόντα, καὶ ταφέντα·

5. Κατελθόντα εἰς ᾅδου· τῇ τρίτῃ ἡμέρᾳ ἀναςάντα ἐκ νεκρῶν·

6. Ἀνελθόντα εἰς οὐρανοὺς, καθεζόμενον ἐκ δεξιῶν Θεοῦ Πατρὸς παντοκράτορος·

7. Ὅθεν μέλλει ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς.

8. Πιςεύω εἰς πνεῦμα ἅγιον

9. Πιςεύω τὴν ἁγίαν ἐκκλησίαν καθολικὴν, ἁγίων κοινωνίαν·

10. Ἄφεσιν ἁμαρτιῶν·

11. Σαρκὸς ἀνάςασιν·

12. Ζωὴν αἰώνιον. Ἀμήν.

ΔΕΚΑΛΟΓΟΣ.

Εγώ εἰμι Κύριος ὁ Θεός σου, ὅστις ἐξήγαγόν σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας.

1. Οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι ἐνώπιόν μου·

2. Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς.

Οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς.

Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, Θεὸς ἰσχυρὸς, ζηλωτὴς, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα, ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν, τοῖς μισοῦσί με·

Καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί με, καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά μου.

3. Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ.

Οὐ γὰρ μὴ καθαρίσῃ Κύριος τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ.

4. Μνήσθητι τὴν ἡμέραν τῶν σαββάτων, ἁγιάζειν αὐτήν.

Ἓξ ἡμέρας ἐργάσῃ, καὶ ποιήσεις πάντα τὰ ἔργα σου.

Τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα Κυρίῳ τῷ Θεῷ σου ἐστίν.

Οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον σὺ, καὶ ὁ υἱός σου,

σου, καὶ ἡ θυγάτερ σου· ὁ παῖς σου, καὶ ἡ παιδίσκη σου· ὁ βοῦς καὶ τὸ ὑποζύγιόν σου, καὶ πᾶν κτῆνός σου· καὶ ὁ προσήλυτος ὁ παροικῶν ἐν σοί·

Ἐν γὰρ ἓξ ἡμέραις ἐποίησε Κύριος τόν τε οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς· καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ.

Διὰ τοῦτο εὐλόγησε Κύριος τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν.

5. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου· ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς τῆς ἀγαθῆς, ἧς κύριος ὁ Θεός σου δίδωσί σοι.

6. Οὐ φονεύσεις.

7. Οὐ μοιχεύσεις.

8. Οὐ κλέψεις.

9. Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ.

10. Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὐδὲ τὸν ἀγρὸν αὐτοῦ, οὐδὲ τὸν παῖδα αὐτοῦ, οὐδὲ τὴν παιδίσκην αὐτοῦ· οὔτε βοὸς αὐτοῦ, οὔτε τοῦ ὑποζυγίου αὐτοῦ, οὐδὲ παντὸς κτήνους αὐτοῦ, οὔτε ὅσα τοῦ πλησίον σου ἐστί.

Τὰ τῆς Ἐκκλησίας Μυστήρια.

Τὸ ΒΑ'ΠΤΙΣΜΑ.

Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος.

Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ Ἐυαγγέλιον πάσῃ τῇ κτίσει.

Ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται. ὁ δὲ ἀπιστήσας κατακριθήσεται.

Τὸ ΚΥΡΙΑΚΟ'Ν ΔΕΙ͂ΠΝΟΝ.

Ὁ Κύριος Ἰησοῦς ἐν νυκτὶ, ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐλογήσας [εὐχαριστήσας] ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς, καὶ εἶπε·

Λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον [διδόμενον·] τοῦτο ποιεῖτε εἰς ἐμὴν ἀνάμνησιν.

Ὡσαύτως καὶ τὸ ποτήριον λαβὼν μετὰ τὸ δειπνῆσαι, καὶ εὐχαριστήσας ἔδωκεν αὐτοῖς, λέγων,

Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ ἐστι τὸ αἷμά μου, τὸ τῆς Καινῆς Διαθήκης, τὸ ὑπὲρ ὑμῶν [περὶ πολλῶν] ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν·

Τοῦτο ποιεῖτε, ὁσάκις ἂν πίνητε εἰς τὴν ἐμὴν ἀνάμνησιν.

ΤΕ'ΛΟΣ.